# Ioannis Lydi de mensibus IV, 26 Wünsch.

*Τὸ περὶ γενέσεως ἀνθρώπου κεφάλαιον Ἰωάννου τοῦ Λυδοῦ, ὅπερ ὁτὲ μὲν ἀνώνυμον, ὁτὲ δ' ἐπ' ὀνόματι Ἰωάννου τοῦ Δαμασκηνοῦ ἢ Σπληνίου φιλοσόφου περιέχεται ἐν πολυαρίθμοις ἀντιγράφοις*[1], *εὕρομεν καὶ ἡμεῖς ἔν τινι ἀναμίκτῳ κώδικι μεμβρανίνῳ τῆς* 13-*ης ἑκατονταετηρίδος, ὅστις ὑπὸ τὸν ἀριθμὸν Β*-43 *κεῖται ἐν τῇ ἀθωνικῇ βιβλιοθήκῃ τῆς μεγάλης λαύρας τοῦ ὁσίου Ἀθανασίου* (*φύλλ.* $194^{β}$—$195^{α}$). *Τὸ κεφάλαιον τοῦτο μὲ πλήρη γνῶσιν τῆς ἱστορίας αὐτοῦ περιλαμβάνεται ἐν τῇ ἐσχάτῃ ἐκδόσει τοῦ* Liber de mensibus, *ἣν ὀφείλομεν εἰς τὴν πολυμαθίαν τοῦ Ῥικάρδου* Wünsch (Lipsiae 1898, *σ.* XXV—XXVII *καὶ* 84—86), *ἑρμηνεύσαντος ἅμα ἐκεῖ τὸ ὅπως ἐμορφώθη τὸ ὄνομα Ἰωάννου τοῦ Δαμασκηνοῦ καὶ τὸ ἕτερον ἐν τοῖς χειρογράφοις ἐσφαλμένον ὄνομα Σπληνίου, τὸ προελθόν, ὡς ὁ* Wünsch *εὐφυῶς ἤκασεν, ἐκ διαφθορᾶς τοῦ ὀνόματος Πλινίου· ὅτι δὲ ἡ εἰκασία αὐτοῦ εἶναι ὀρθή, βεβαιούμεθα τοῦτο ἐκ τοῦ ἀθωνικοῦ κώδικος, ἐν ᾧ ἀντὶ τοῦ ὀνόματος Σπληνίου εἶναι γεγραμμένον ἀνορθογράφως τὸ Πληνίου. Ὁ κῶδιξ οὗτος ἔχει τὸ κεφάλαιον ἐκεῖνο ἐπιγεγραμμένον εἰς ὄνομα Ἰωάννου τοῦ Λυδοῦ καὶ συμφωνεῖ κατὰ τοῦτο πρὸς τὸν κώδικα* Monac. 531. *Τὸ δὲ κείμενον αὐτοῦ ἔχει ἐν τῷ ἀθωνικῷ χειρογράφῳ οὕτως:*

*Ἰωάννου Φιλαδελφέως τοῦ Λυδοῦ.*

*Οἱ τὴν φυσικὴν ἱστορίαν συγγράφοντες (κόσμος δὲ αὐτῶν ὁ Ῥωμαῖος Πλίνιος) φασίν, τὸ σπέρμα τῇ μήτρᾳ καταβαλλόμενον ἐπὶ μὲν τῆς τρίτης ἡμέρας ἀλλοιοῦσθαι εἰς αἷμα καὶ πρώτην διαζωγραφεῖν τὴν καρδίαν, ἥτις πρώτη μὲν διαπλάττεσθαι τελευταία δὲ ἀποθνήσκειν λέγεται (εἰ γὰρ ἀρχὴ ἀριθμῶν ὁ τρεῖς, περιττὸς δὲ ἀριθμός ἐστι, ἄρα καὶ ἀρχὴ γενέσεως ἐξ αὐτοῦ), ἐπὶ δὲ τῆς θ' πήγνυσθαι εἰς σάρκα καὶ μυελοὺς συγγλοιοῦσθαι, ἐπὶ δὲ τῆς τεσσαρακοστῆς εἰς ὄψιν τελείαν καὶ διατύπωσιν ἀποτελεῖσθαι καὶ ἁπλῶς εἰπεῖν τέλειον ἄνθρωπον ἀποπλη-*

---

1) K. Krumbacher, Geschichte d. byz. Litteratur$^2$, *σ.* 620.

---

1 *κῶδ. λυδοῦ* ‖ 3 *κῶδ. πλήνιος* ‖ 7 *κῶδ. πίγνυσθαι* ‖ 8 *κῶδ. συγκλοιοῦσθαι* | *κῶδ. σαρακοστῆς*

Brought to you by | Simon Fraser University
Authenticated
Download Date | 6/13/15 6:39 PM

ροῦν· ἐπὶ τοῦ τρίτου μηνὸς ἐγκινεῖσθαι ἐψυχωμένον τῇ μήτρᾳ, ἐπὶ δὲ τοῦ ἐνάτου παντελῶς ἀπαρτίζειν καὶ πρὸς ἔξοδον σπεύδειν· καὶ εἰ μὲν ᾖ θῆλυ, κατὰ τὸν ἔνατον μῆνα, εἰ δὲ ἄρρεν, κατὰ τὸν δέκατον ἀρχόμενον. θῆλυ δὲ γίνεται καὶ ἄρρεν κατὰ τὴν θερμοῦ ἐπικράτειαν· πλεονάζοντος γὰρ τοῦ κατὰ τὸ σπέρμα θερμοῦ, ἅτε τῆς πήξεως ταχείας γινομένης, ἀρρενοῦταί τε καὶ διαμορφοῦται ταχέως· ἐλαττούμενον δὲ κατισχύεται ὑπὸ τῆς ἐπιρροῆς καὶ καταγωνιζόμενον θηλύνεται, βράδιον δὲ πηγνύμενον βράδιον καὶ διαμορφοῦται. ὅτι δὲ ἀληθὴς ὁ λόγος, τὰ μὲν ἄρρενα καὶ πρὸ τῶν μʹ ἡμερῶν ἐκτιτρωσκόμενα μεμορφωμένα προσπίπτει, τὰ δὲ θῆλυ καὶ μετὰ τὰς μʹ σαρκώδη τε καὶ ἀδιατύπωτα. καὶ ταῦτα μὲν ἐπί τε συλλήψεως καὶ κυήσεως. τεχθὲν δὲ τὸ βρέφος ἐπὶ μὲν τῆς τρίτης ἀποσπαργανοῦσθαι, ἐπὶ δὲ τῆς ἐνάτης ἰσχυροποιεῖσθαι καὶ ἀφὴν ὑπομένειν, ἐπὶ δὲ τῆς τεσσαρακοστῆς προσλαμβάνειν τὸ γελαστικὸν καὶ ἄρχεσθαι ἐπιγινώσκειν τὴν μητέρα, ἐπὶ δὲ τῆς ἀναστοιχειώσεως τοὺς ἴσους ἀριθμοὺς πάλιν ἐξ ὑποστροφῆς παραφυλάττειν τὴν φύσιν καὶ δι' ὧν συνέστηκεν δι' αὐτῶν πάλιν ἀναλύεσθαι. τελευτήσαντος γοῦν ἀνθρώπου, ἐπὶ μὲν τῆς τρίτης ἡμέρας ἀλλοιοῦται παντελῶς καὶ τὴν ἐπίγνωσιν τῆς ὄψεως διαπόλλυσι τὸ σῶμα, ἐπὶ δὲ τῆς θʹ διαρρεῖ σύμπαν, ἔτι σῳζομένης αὐτῷ τῆς καρδίας, ἐπὶ δὲ τῆς μʹ καὶ αὕτη συναπόλλυται τῷ παντί. διὰ τοῦτο τρίτα ἔνατα καὶ τεσσαρακοστὰ ἐπὶ τῶν τεθνεώτων φυλάττουσιν.

---

Ἐν τῷ τεμαχίῳ τούτῳ σημειώσεως ἄξιον εἶναι τὸ ἀποπληροῦν, ὅπερ ἐλλείπει τοῖς λοιποῖς ἀντιγράφοις, ἔτι δὲ τὸ εἰ δὲ ἄρρεν ἀντὶ τοῦ ὡς εἰκὸς ἀκαταλήπτου εἰ δὲ κρεῖττον, ὅπερ εὑρίσκεται ἐν ταῖς ἐκδόσεσιν. Ὅρα Lib. de mensibus σ. 85, 5. K. Krumbacher, Studien zu den Legenden des H. Theodosios, σ. 352, 14.

Ἀ. Παπαδόπουλος-Κεραμεύς.

---

3 ᾖ] κῶδ. ἡ || 5 κῶδ. τοῦ θερμοῦ[β] κατὰ[α] τὸ σπέρμα || 7 κῶδ. καταγονιζόμενον || 12 κῶδ. ἀποσπαργανοῦται . . . ἰσχυροποιεῖται || 13 κῶδ. ἀφὴν ὑπομένη || 15 κῶδ. ἐξυποστροφῆς || 16 κῶδ. διῶν || 20 κῶδ. διατοῦτο

Brought to you by | Simon Fraser University
Authenticated
Download Date | 6/13/15 6:39 PM